Ακαδημία Αθηνών / Academy of Athens

Νεον Επιστολαριον σ. 233

Καρθαγένη

18ος αἰών.

1

«Ὁ Καρθαγένης ὅτι τῶν Ἀρχιεπισκόπων ἀρχαῖος, καὶ πρῶτος πασῶν τῶν Ἐκκλησιῶν τῆς Ἀφρικῆς, μάρτυρες πρῶτον ὁ Κυπριανός, καὶ αἱ παρ' αὐτοῦ ἀθροισθεῖσαι δύο Σύνοδοι. δεύτερον ἡ Σύνοδος, ἧς ἐξῆρχεν ὁ Καρθαγένης Αὐρήλιος. τρίτον, Καπρεόλος Ἀρχιεπίσκοπος Καρθαγένης, ὁ πέμψας ἐπιστολὴν ἐκ προσώπου πάσης τῆς Ἀφρικῆς εἰς

Ακαδημία Αθηνών / Academy of Athens

Νέον Ἐπιστολάριον σ. 233-34

Καρθαγένη

18ος αἰών.

2

τὴν τρίτην Οἰκουμενικὴν Σύνοδον. ἀλλ' ἐπειδὴ οἱ Βάνδαλοι λαβόντες τὴν Ἀφρικήν, συγκεχύκασι τὰς ἐκεῖσε Ἐκκλησίας, ὁ Βασιλεὺς Ἰουστινιανὸς λαβὼν τὴν Ἀφρικὴν παρ' αὐτῶν καὶ ἀνακαινίσας τοῦ Καρχηδόνος τὸ ἀξίωμα, ἐθέσπισεν εἶναι αὐτὸν πρῶτον τῶν Ἐκκλησιῶν τῆς Ἀφρικῆς, καθὼς ὁ Ἀχρίδος τῶν τοῦδε Ἐπαρχιῶν. διαλαμβάνει δὲ περὶ Καρχηδόνος ἐν τῷ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Νεον Επιστολαριον σ. 234.

Καρθαγένη

3

αὐτῷ Πριβιλεγείῳ, ἐν ᾧ γράφει καὶ περὶ τῆς Ἀχρίδος αὐτολεξεὶ ταῦτα· τοῦτο τὸ δίκαιον ὅπερ ἐδώκαμεν τῇ Ἀχρίδι, ἐδώκαμεν καὶ τῷ Ἐπισκόπῳ Καρχηδόνος τῆς Ἀφρικῆς, μετὰ τὸ παραδοῦναι ταύτην ὁ Κύριος ταῖς χερσὶν ἡμῶν.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ